# ΑΠΟΡΙΑΙ ΚΑΙ ΛΥΣΕΙΣ
# ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΕΚ ΤΗΣ

ΔΟΓΜΑΤΙΚΗΣ ΠΑΝΟΠΛΙΑΣ ΚΑΙ ΘΗΣΑΥΡΟΥ ΟΡΘΟΔΟΞΙΑΣ

ΤΟΥ

ΝΙΚΗΤΑ ΑΚΟΜΙΝΑΤΟΥ ΧΩΝΙΑΤΗ

ΕΚ ΒΑΤΙΚΑΝΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ
(Vat. Gr. 680)

ΔΙΟΡΘΟΙ ΚΑΙ ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΙΔΕΙ

Α. Λ. ΠΙΕΡΡΗΣ.

Ἔτι ἕτεραι προβλήσεις τῶν Ἰταλῶν ὑπὲρ τοῦ ἰδίου δόγματος, δηλαδὴ τοῦ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα. Καὶ πρὸς ταύτας ἀντιθέσεις τῶν Γραικῶν.

α΄. Φασὶν Ἰταλοί, ὡς ὁ Χριστὸς εἶπεν ἐν τῷ καιρῷ τοῦ πάθους ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ οὐ προσέθετο καὶ ἐξ ἑαυτοῦ διὰ τὸ ἀνθρώπινον, ἤτοι τὸ πρόβλημα τῆς σαρκός, ἵνα μὴ δόξῃ περιαυτολογεῖν.

Ἀντίθεσις δὲ πρὸς τοῦτο. Ὅτι λοιπὸν ἔστιν εἰπεῖν ὡς τὴν ἀληθινὴν ὑπέκρυψε περὶ τοῦ πνεύματος παράδοσιν. Ὅπερ ἄτοπον. Οὐδὲν γὰρ ἐλλιπὲς ὁ Λόγος ἢ περὶ τοῦ Πατρὸς ἢ περὶ τοῦ Θείου ἐφθέγξατο Πνεύματος. Εἶτα εἰ κατὰ τὸν λόγον τῶν Ἰταλῶν ὁ Σωτὴρ διὰ τὸ ἀνθρώπινον καὶ διὰ τὸ ἐκφεύγειν τὸν περιαυτισμὸν παρεσιώπησε τὸ καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι, πάντως ἂν αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐλλεῖπον τοὺς μαθητὰς ἐδίδαξεν ἀναγγεῖλαι. Τοῦτο δὲ οὐδαμοῦ εἰργάσατο. Αὐτὸς ὁ Παῦλος ὁ τοῦ Θείου Πνεύματος ὑφηγητής, ἀκολούθως τοῖς τοῦ Σωτῆρος Χριστοῦ λόγοις, αὐτῷ μόνῳ τῷ Πατρὶ τὸ ἐκπορεύειν τὸ Πνεῦμα πανταχοῦ διεκήρυξεν, τὸ Πνεῦμα τοῦ Χριστοῦ λέγων τὸ Πνεῦμα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ· ἐπὶ μὲν τοῦ Πατρὸς συνδυάζων τὴν κατὰ φύσιν οἰκείωσιν καὶ τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι, ἐπὶ δὲ τοῦ Υἱοῦ μοναδικῶς παραδιδοὺς τὸ ὁμοφυές.

Ἔτι περὶ τοῦ αὐτοῦ. Πρὸς τὸ τοιόνδε τῶν Ἰταλῶν πρόβλημα ὑβρεοπαθοῖσι ἂν καὶ αὐτὸς ὁ Θεὸς Λόγος κατηγορούμενος τὴν ἀληθινὴν διδασκαλίαν ὑποκρύψαι, ἢ ὡς μὴ παραχωρούμενος εἰπεῖν καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμα προβάλλεσθαι διὰ τὸ πρόβλημα τῆς σαρκός, ἢ ὡς ἀναβαλλόμενος μήπως δόξῃ περιαυτολογεῖν. Ἀλλ᾽ εἰπὲ ἡμῖν ὁ τὰ τοιαῦτα προβαλλόμενος, ὅπως οὐ τοιόν<δε>τι μεθοδεύων ἐστὶν ἐν οἷς εὑρίσκεται λέγων καὶ ἄλλον Παράκλητον πέμψω ὑμῖν, καὶ ὡς ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀπαγγελεῖ ὑμῖν, καὶ πάλιν ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν, ἀλλ᾽ ἀπαρακαλύπτως τὴν ὑπὲρ τῆς θείας φύσεως διδασκαλίαν πεποίηται. Εἶτα εἰ μὴ δεδίδαχεν ὁ Σωτήρ, ἀνήγγειλεν ἂν τὸ Πνεῦμα τοῖς Ἀποστόλοις, οἱ δὲ τρανῶς διαδεδώκασι πανταχοῦ· κήρυκες γὰρ τοῦ Εὐαγγελίου. Καὶ δότε τὸν εἰπόντα. Ἀλλὰ ποῦ οὗτος; Παῦλος δὲ μᾶλλον ἀκολουθῶν τῷ Σωτῆρι (καὶ πῶς γὰρ μὴ οὐχί;) αὐτῷ

μόνῳ τῷ Πατρὶ τὸ ἐκπορεύειν τὸ Πνεῦμα δίδωσιν, ἐν οἷς οὕτω πλειστάχου τῶν ἐπιστολῶν αὐτοῦ ἀναγορεύει τὸ Πνεῦμα τοῦ Χριστοῦ, τὸ Πνεῦμα τοῦ Υἱοῦ, τὸ Πνεῦμα τοῦ Θεοῦ, τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ· ἐπὶ μὲν τοῦ Πατρὸς συνδυάζων καὶ τὴν κατὰ φύσιν οἰκείωσιν καὶ τὸ ἐξ αὐτοῦ εἶναι ὡς ἐξ αἰτίου, ἐπὶ δὲ τοῦ Υἱοῦ τὸ ὁμοφυὲς μοναδικῶς δεδωκώς.

β΄. Ἄλλη ἀντίθεσις. Φησὶ ὁ Ἰταλὸς ὡς ἐπεὶ οὐκ εἶπεν ὁ Χριστὸς ἐκ μόνου τοῦ Πατρὸς, δηλονότι καὶ ἐξ αὐτοῦ ἐστίν.

Ἀπόκρισις. Ἐξ ὑπονοίας, εἰπεῖν δὲ μᾶλλον τ᾽ ἀληθεστέρον ἐξ ἀνοίας, τὸ συμπέρασμα. Εὑρήκαμεν γὰρ τὸν Χριστὸν σαφῶς διακρίνοντα τί τὸ ἑαυτοῦ καὶ τί τὸ τοῦ Πατρός. Ὅταν γὰρ ἔφησε καὶ ἄλλον Παράκλητον πέμψω, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἑαυτῷ μὲν δέδωκε τὴν πέμψιν τοῦ Πνεύματος, τῷ δὲ Πατρὶ τὸ ἐκπορεύειν αὐτό. Ὡς ἂν δὲ μὴ λογίσκοιτό τις αὐτοῦ μόνον εἶναι τὸ πέμπειν ἀλλ᾽ οὐχὶ καὶ τοῦ Πατρὸς, διατετράνωκε καὶ τοῦτο· φησὶ γὰρ ἑτέρωθι, καὶ ἄλλον Παράκλητον ὁ Πατὴρ πέμψει ἐπὶ τῷ ὀνόματί μου. Ὥστε καὶ ἐπὶ τῆς προβολῆς, εἰ ὧδε παρέλιπε τὸ καὶ ἐξ αὐτοῦ, ἀλλαχοῦ μεμαρτύρηκεν ἄν, ἀκεραίαν παραδιδοὺς τὴν θεολογίαν. Ἐπεὶ δὲ οὐκ ἐξ αὐτοῦ ἐκπορεύεται, οὐδὲ εἴρηκε τὸ μὴ ὂν ἡ αὐτοαλήθεια.

γ΄. Ἔτι ὁ Ἰταλὸς διαλεκτικῶς ἐρωτᾷ: ἐκ μόνου τοῦ Πατρὸς ἢ οὐκ ἐκ μόνου; Καὶ ἀνάγκη δεῖξαι θάτερον τῶν μορίων τῆς ἀντιφάσεως.

Ἀπόκρισις. Ἕως οὗ μετὰ χεῖρας τὸ Εὐαγγέλιον, καὶ λαλεῖ Χριστὸς ἐν αὐτῷ, τὸ Πνεῦμα πέμψω, τὸ Πνεῦμα ἐξ ἐμοῦ λαμβάνει, τὸ δὲ προβάλλειν τῷ Πατρὶ μόνῳ ἀφορίζει, οὐκ ἐμὸν τὸ δεῖξαι. Εἰ γὰρ καὶ μὴ φατῇ τὸ οὐκ ἐκ μόνου, τὸ ἐκ μόνου δήπου νοεῖται καὶ μὴ εἰρημένον. Συμμαρτυρεῖ δὲ τῷ διδασκάλῳ ὁ μαθητής. Λέγων γὰρ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ εἶναι, οὐκ ἐπιφέρει πῃ ποτε τῶν ἐπιστολῶν αὐτοῦ καὶ ἐκ τοῦ Υἱοῦ. Τοῦ δὲ Θεοῦ Λόγου μαρτυροῦντος τὸ μοναδικὸν, καὶ Παύλου ἐπακολουθοῦντος, τίνων [οὐ] στερροτέρα ἡ ἀπόδειξις;

δ΄. Ἄλλη ἀντίθεσις. Ἀλλ᾽ οὐκ ἔστι δεῖξίς τις, οὐ. Ἀπόκρισις. Ὃ ἄνω προανεθέμην καὶ πάλιν ὑποδιπλῶ: ἡ εὐαγγελικὴ φωνὴ τὴν ἐμὴν θέσιν δείκνυσιν. Ἐνίστησι γὰρ προβολέα τοῦ Πνεύματος τὸν Πατέρα καὶ οὐκ ἄλλον· εἰ δὲ μὴ ἄλλον, ἄρα μόνον. Καὶ ὡς ἐν τύπῳ εἰπεῖν, ἔστιν ἐν ἡμῖν κατάληψις ἢ πρόληψις. Καὶ εἰ μὲν κατάληψις, ὃ καὶ ἀληθέστερον, λέλυται ὁ ἀγών. Εἰ δὲ πρόληψις, νόμος δὲ τὸν προλήψει μαχόμενον δεικνύειν, ἐπικέκλασται ἄρα τῷ δι᾽ ἐναντίας τὸ βάρος

τῆς ἀποδείξεως, τῷ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα προϊέναι παραγραφικῶς εἰσάγοντι, ἀλλ' οὐ τὸ ἐκ μόνου τοῦ Πατρός. Ἄγε δ' οὖν, εἰ καὶ μὴ ἔστι μοί τις ἀνάγκη γνωρίσαι ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα ἐκπορεύεσθαι, τοῦτο μὲν ὅτι δέδεικται ἐξ αὐτοῦ τοῦ Χριστοῦ καὶ τοῦ ἱερομύστου Παύλου, τοῦτο δὲ ὅτι τῷ Ἰταλῷ ἀναγκαία ⟨ἡ⟩ ἀπόδειξις τῆς οἰκείας ἐστὶ καινοτομίας ὡς εἰρήκαμεν, ὅμως καὶ ἐκ τῶν Πατέρων παραστήσω. Ὑψηλὸς τὰ θεῖα ὁ μέγας Διονύσιος, καὶ μύστης τοῦ Παύλου καὶ μυστιπόλος καὶ μάρτυς σύγχρονος τοῖς ἱεροῖς Ἀποστόλοις καὶ σύμφθογγος αὐτοῖς εἰς τὸ κήρυγμα· οὗτος φησὶ μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ. Ἔτι ὁ μέγας τῆς Τριάδος πρόβολος Γρηγόριος ὁ Θεολόγος μίαν ἀρχὴν καὶ αἰτίαν ἀνεκήρυξε τὸν Πατέρα, καὶ αὐτὸν μόνον προβολέα ἀνηγόρευσεν· πάντες δὲ ἐπευφήμησαν. Θεοδώριτος ὁ τὰ θεῖα σοφὸς εὑρὼν μέσην τινὰ λέξιν τοῦ ἱεροῦ Κυρίλλου γεννῶσαν διχόνοιαν καὶ σκανδαλισθεὶς ὑπ' αὐτῆς, οὕτω φησί: εἴ τις τὸ ἐκ τοῦ Υἱοῦ ἢ διὰ τοῦ Υἱοῦ λέγεσθαι μανθάνων τὸ Πνεῦμα δοξάζει ἐντεῦθεν ἐξ αὐτοῦ ὡς ἐξ αἰτίου ἔχειν τοῦτο τὴν ὕπαρξιν, βλασφημεῖ· ἀγνώριστον γὰρ αὐτὸ τῇ Ἐκκλησίᾳ· ἐκ τοῦ Θεοῦ γάρ φησι ὁ Παῦλος τὸ Πνεῦμα, ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ. Πρὸς ὃ καὶ ὁ Κύριλλος συνθέμενος, τὸ ἀσαφὲς διεσάφησεν ἀνταπολογησάμενος εἰρηκέναι τοῦτο διὰ τὸ ἴδιον εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ καὶ μὴ ἀλλότριον. Πηλίκος δὲ τὴν παντοδαπὴν σοφίαν καὶ ὁ ἁγιώτατος Μάξιμος καὶ τὴν εἰς τὰ δόγματα βαθυγνωμοσύνην καὶ τὴν ὑψηλὴν θεωρίαν. Ἐνωτίσασθε γοῦν οἷα καὶ οὗτος θεολογεῖ: Εἷς Θεὸς ἑνὸς Υἱοῦ [ἐν ὁ] Πατὴρ καὶ Πνεύματος Ἁγίου προβολεύς· Μονὰς ἀσύγχυτος· Τριὰς ἀδιαίρετος· Νοῦς ἄναρχος μόνου μόνος οὐσιωδῶς ἀνάρχου Λόγου γεννήτωρ, καὶ μόνος ἀϊδίου ζωῆς Πνεύματος Ἁγίου πηγή. Τοῦτο καὶ ὁ ἱερὸς Γρηγόριος ὁ Διάλογος ῥωμαϊκῇ φωνῇ καὶ γράμμασιν ἐθεολόγησεν. Στῆλαι τούτου καὶ αἱ δύο ἀσπίδες, αἱ τῷ ἱερῷ θησαυροφυλακίῳ τῆς παλαιτέρας Ῥώμης ἐγκειμηλιούμεναι. Ἀκολούθως δ' αὐτοῖς πᾶσι καὶ ὁ ἐκ Δαμασκοῦ Ἰωάννης, ἡ μέλισσα τῶν τῆς ζωῆς ῥημάτων καὶ ἀκριβὴς γνώμων τῶν ὀρθῶν δογμάτων, παρρησίᾳ γέγραφως ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα προβάλλεσθαι. Καὶ ἄλλοι νοῦν ἔχοντες καὶ ὀσμὴν αὐτοῦ.

ε΄. Ἄλλη ἀντίθεσις. Οἱ προσθέμενοι τὸ μόνος, ὃ Χριστὸς οὐκ εἴρηκεν, οὐχ ὑπόδικοι τῷ ἀποστολικῷ ἐπιτιμίῳ;

Ἀπό(κρισις). Οὐ μὲν οὖν. Οὐ γὰρ πᾶσα πρόσθεσις ἐπιτιμητέα ἀλλ' ἡ καινοτόμος καὶ ὑποβολιμαία, ἐπισυρομένη ἀτοπίας ὅσας καὶ οἵας ἐμφαίνει τὸ διδάσκειν τὸ καὶ τὸν Υἱὸν ἐκπορεύειν τὸ Πνεῦμα. Εἰ γάρ τοι τοῦτο δοθείη, ὡς πᾶσα πρόσθεσις ἤτ' οὖν πρόσρησις ὑπεύθυνος, ἀποκηρυχθεῖεν ἄρα οἱ τοῦ ὁμοουσίου κήρυκες καὶ δώσει δίκας ἡ δευτέρα Σύνοδος ὑπὲρ τῶν συμβολαιογραφικῶν προσρημάτων εἰς τὸ Ἅγιον Πνεῦμα, καὶ οἱ ἀναστηλώσαντες τὴν Ἁγίαν Παρθένον εἰς Θεοτόκον στηλιτευθεῖεν ἐν τῇ νεογραφίᾳ· ὡσαύτως καὶ οἱ τὸ Πνεῦμα θεολογήσαντες. Ἀλλ' ἐπεὶ μακαριστέοι οὗτοι ὑπὲρ τῶν εὐσεβῶν τούτων φωνῶν — τῇ γὰρ τὸ ὁμοούσιον [ἢ] ὁμοδύναμον τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ταυτοούσια γὰρ τῷ γειναμένῳ τὰ γεννώμενα. Καὶ τίς ἡ Θεοτόκος φωνὴ καὶ ἡ θεολογία τοῦ Πνεύματος; Ἢ ἐπεὶ τὸ Πνεῦμα γέγραπται πανταχοῦ παρεῖναι καὶ πληροῦν τὸν οὐρανὸν καὶ τὴν γῆν· ἄρα Θεός· τῆς γὰρ φωνῆς ταύτης μαρτύριον ἡ πανταχοῦ παρουσία αὐτοῦ. Πεπροφήτευται δὲ καὶ περὶ τῆς Ἁγίας Μητρὸς τοῦ Θεοῦ, ὡς ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσει τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Ἦλθε δὲ ὁ Θεὸς μεθ' ἡμῶν σαρκικῶς συναναστραφεὶς μιᾷ ὑποστάσει, καὶ διαβεβαιοῦται ἡ τοῦ Ἐμμανουὴλ γέννησις Θεοτόκον αὐτήν. Οὐκ ἄρα πᾶν πρόσρημα ἐν ἐπιτιμίῳ, οὗ ἐστιν ἡ ἱερὰ Γραφὴ ἄντικρυς στόμα καὶ χεῖλος, ἐξ ἀνάγκης νοουμένου καὶ τοῦ μὴ εἰρημένου. Τί τοίνυν φατέ; Καπηλεύσομεν τὸν λόγον τῆς ἀληθείας, μᾶλλον δὲ αὐτὸν τὸν εἰπόντα, Χριστοκάπηλοι φανέντες, καὶ ἀνορύξομεν τὴν οἰκοδομὴν τῶν Πατέρων, ἧς θεμέλιον ὁ Χριστός, καὶ τὸν ὑποβολιμαῖον τοῦτον ὑποβαλοῦμεν λόγον τὸν νόθον καὶ ἔκφυλον, βαρβαρικῇ φωνῇ ἀλλοτρίᾳ κατηκολουθηκότες ἑωλοκρασίας ἀποζούσῃ; Ὁ ψιθυριστὴς ἄρα δράκων τοῦτο ὑπέθετο.

Ἀλλ' ἀνακτέον τὸν λόγον εἰς τὸ πρότερον πρόβλημα. Ἐζήτηται γὰρ εἰ βλάσφημον τὸ δοξάζειν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα προβάλλεσθαι. Καὶ μεμαρτύρηκε μὲν οὕτω τοῦτο καὶ ὁ Θεοδώρητος. Τέως δὲ καὶ μυρία τὰ ἄτοπα τούτῳ ἑφέπεται. Πρῶτον μέν, τὸ τῆς ἑτεροδιδασκαλίας, οὐ πρὸς ἄλλον ἀντιφωνοῦν ἢ αὐτὸν τὸν Χριστόν, εἰρηκότα μὴ καλέσητε ἄλλον διδάσκαλον ἐπὶ τῆς γῆς. Δεύτερον δέ, ὡς ἐπεὶ ὅρος ἐστὶ τῆς καθο-

κικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τὰς ἰδιότητας τῶν θεαρχικῶν ὑποστάσεων ἀκινήτους εἶναι πρὸς ἀλλήλας. Τὸ δὲ γεννᾶν καὶ τὸ προβάλλειν ἢ τῆς ὑποστάσεώς ἐστι ἢ τῆς φύσεως· μεταξὺ γάρ τι τούτων οὐκ ἔστιν. Ἀλλὰ τῆς μὲν φύσεως οὔ· ἦν γὰρ ἂν κοινὸν τῶν τριῶν, ὅτι καὶ ἡ φύσις μία. Ἀνάγκη ⟨οὖν⟩ εἶναι τῆς ὑποστάσεως. Καὶ εἴπερ καὶ ὁ Υἱὸς προβάλλει, ἔψευσται ἄρα ὁ τῶν Πατέρων ὅρος καὶ λόγος. Εἰ δὲ ἐφ' ἑνὶ τὸ ψεῦδος, πάντως καὶ ἐπ' ἄλλῳ ἔσεται· ἑνὸς γὰρ ἀτόπου δοθέντος καὶ ἕτερα ἕψεται· καὶ ἀνατετράφαται τὰ τῆς Ἐκκλησίας δόγματα. Τρίτον, ὡς εἰ ἔστι συμπροβολεὺς ὁ Υἱός, ἀνάγκη νοεῖν ὡς τὸ ἐλλεῖπον ἀναπεπλήρωκεν τοῦ Πατρός. Καὶ ἀρίθμει καὶ ἐπὶ τούτῳ τὰ ἀπόφημα· ἀδύναμος ὁ προβολεύς, ἀτελής· τὸ γὰρ μὴ ἐκ τελείου τέλειον φαίη ἄν τις ⟨χρῄζει ἐπικουρίας⟩, ὡς τῆς οὐσίας ἀναλωθείσης εἰς τὴν τοῦ Υἱοῦ ὕπαρξιν ἢ πτωχευσάσης εἰς τὴν τοῦ Πνεύματος ὁλόκληρον προβολήν· ὡς ἐντεῦθεν δεδωκέναι καὶ τομὴν τῇ θεότητι. Ἔτι εἰ αἱ κάτω σχέσεις καὶ αἱ κλήσεις καὶ οἱ συνδυασμοὶ παρρησιάζονται καὶ εἰς τὴν ἄνω θεογονίαν, [δε] ῥυπωθείη τὸ θεϊκόν. Οὐκέτι γὰρ μόνος ἀεὶ προβολεὺς ὁ Πατήρ, ἀλλὰ καὶ ὁ Υἱός. Καὶ οὐκ ἔτι ὁ Υἱὸς ἀεὶ αἰτιατόν, ἀλλὰ καὶ αἴτιος, ὃν τρόπον ἐν τῇ ῥοώδει γεννήσει ὁ σήμερον υἱὸς αὔριον πατήρ. Τῷ δὲ εὑρήσαντι τὸ πολυκέφαλον τοῦτο τῆς βλασφημίας ἐξάμβλωμα, κρεῖττον ἦν εἰ θηρία τοῦ δρυμοῦ συνέμβρυον τὴν μητρώαν ἐκείνῳ κοιλίαν διεσπάραξαν, καὶ πύλας Ἅδου διαπεράσαι αὐτῷ ἐξεγένετο, πρὶν φῶς ἡλίου θεάσασθαι. Τέταρτον, πολύφερτον δὲ [καὶ] αὐτὸ ἐκ πολυσχιδῶν αἱρέσεων συμφόρημα[τος]. Ὡς εἴπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς προβολεῖς, ὁ μὲν ἄλλο Πνεῦμα προβάλλει, ὁ δὲ ἄλλο· καὶ ἔστι ἡ τριὰς τετράς. Ἐπὶ χώρας δὲ καὶ ἡ δυαρχία, ἣν οὐκ ἐπέγνωμεν· εἴτε γὰρ ἐπὶ τοῦ Υἱοῦ καὶ Πνεύματος ἡ θεωρία, μία ἀρχὴ καὶ πηγὴ ὁ Πατὴρ παραδέδοται· εἴτε δὲ ἐπὶ τῶν γεννητῶν καὶ κτιστῶν, μία ἀρχὴ ἡ ὅλη Τριάς. Μάνεντος μόνου καὶ Μανιχαίου τὸ κακὸν τόδε τερθρευσαμένων, δύο ἀρχὰς ἐναντίας. Εἰ δὲ μὴ δύο προβολεῖς ὁ Πατὴρ καὶ ὁ Υἱός, οὐκ ἄρα ἰδιοϋπόστατοι, ἀλλ' ἓν πρόσωπον, κατὰ τὴν φαντασθεῖσαν ἀσεβῶς τῷ Σαβελλίῳ συνηρημένην υἱοπατορίαν. Ὥστε ὅπου ἂν ῥίψῃς κατὰ τὸ παροιμιωδούμενον τὴν ἄκανθαν, ὀρθόκεντρον τὸ τῆς αἱρέσεως πῆγμα εὑρίσκεται. Πέμπτον, ὡς εἴπερ

ὁ Πατὴρ καὶ ὁ Υἱὸς προβάλλει, τὸ δὲ Πνεῦμα οὔ, ἢ εἰς ὕφεσιν αὐτὸ πίπτει (ὃ γὰρ τοῖς δυσὶν ἔστι, τοῦτο καὶ αὐτῷ <δεῖ>), ἢ ὑποληφθήσεται μὴ εἶναι αὐτὸ οὐσίαν ζῶσαν ἰδιουπόστατον, ἀλλὰ χάριν καὶ ἐνέργειαν, ἥτις ἅμα τῷ ἐνεργηθῆναι πέπαυται· ὃ δὴ ἔγκλημα καὶ ἐπιτέτριπται τῷ Ἰταλῷ. Εἰ γὰρ κατὰ τὸ ὄνομα οὐχ ἁμαρτάνει, ἀλλὰ κατὰ τὸ πρᾶγμα· εἰς τοῦτο δὴ περιάγεται ἐξ ὧν ἐπιχειρεῖ καὶ λογίζεται. Οὐ γὰρ ἀπαρακάλυπτα τὰ θύρατρα τῶν τοιχορύχων τῶν ἀνορυσσόντων τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας καὶ μεταιρόντων τῶν Πατέρων τὰ ὅρια.

ϛʹ. Ἀλλὰ φησὶ ὁ Ἰταλός, ὡς ὁ Παῦλος ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ πεφηνέναι διδάσκει τὸ Πνεῦμα, καὶ δίδωσι ἐντεῦθεν καὶ τῷ Υἱῷ τὸ εἶναι τὸ Πνεῦμα ἐξ αὐτοῦ ὡς ἐξ αἰτίου.

<Ἀπόκρισις>. Μὴ ἀγνοείτω ὁ Ἰταλὸς τὴν τοῦ πεφηνέναι σημασίαν, μηδὲ ποιείτω τὸν Παῦλον δίγλωσσον, ἐκ τοῦ Θεοῦ μόνου διαμαρτυράμενον τὸ Πνεῦμα εἶναι, ἀλλ᾽ οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. Τὸ γάρ τοι φαίνειν οὐ τὸ ὑπάρχειν δηλοῖ, ἀλλὰ τὸ ἐλλάμπειν. Καὶ ἐπεὶ παράδοσις τῆς Ἁγίας Γραφῆς τὸ Πνεῦμα τὸ ἐκπορευθὲν ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐπιφανῆναι ἡμῖν, τοῦτ᾽ αὐτὸ καὶ ὁ Ἀπόστολος διαβεβαίωκεν.

ζʹ. Πρὸς ἃ καὶ εἴρηται φασὶν οἱ Ἰταλοί, ὡς ὁ μέγας Βασίλειος τὸ Πνεῦμα τρίτον τῇ τάξει λέγει καὶ τῷ ἀξιώματι. Καὶ ἐπεὶ ὡς ὁ Υἱὸς ὑποβέβηκε τὸν Πατέρα, οὕτω καὶ τὸ Πνεῦμα τὸν Υἱόν· ἔστι δὲ ὁ Υἱὸς ἐκ τοῦ Πατρός· ἄρα καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ.

Ἀπό<κρισις>. Συλλογίζονται μὲν οὕτω· πλὴν συνάπτουσι τὰ ἀσύναπτα καὶ συμπεραίνουσι τὰ ἀσυμπέραντα. Οὐ γὰρ ὁ Υἱὸς διὰ τοῦτο ἐκ τοῦ Πατρὸς ὅτι μετὰ τὸν Πατέρα ἠρίθμηται, ἀλλ᾽ ὅτι ἐστὶ Υἱός· οὐ γὰρ πᾶν ὃ τῇ τάξει δεύτερον τινος ἢ καὶ τρίτον, τοῦτο καὶ ἐξ αὐτοῦ. Εἰ τοίνυν καὶ τὸ Πνεῦμα τρίτον ἐκφέρεται τῇ τάξει, ἀλλ᾽ οὐκ ἀνάγκη καὶ ἐξ Υἱοῦ ἐξελθεῖν. Τέως δ᾽ οὖν, μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον, τὸν θεοφόρον ἡμῶν Πατέρα Βασίλειον συκοφαντίᾳ καθυπάγοντες, οὗ ἡ φωνὴ φωνὴ Θεοῦ. Ἴστε γὰρ ὡς τὰ ῥήματα ταῦτα οὐ δόξα τοῦ Πατρὸς τῷ πηγαίῳ τῆς αὐτοῦ διανοίας. Ἀλλ᾽ ἀκηκοὼς τοῦ ἀνόμου Εὐνομίου εἰρηκότος ὡς παρελάβομεν τὸ Πνεῦμα ἐκ τῶν Πατέρων τρίτον εἶναι τῇ τάξει καὶ τῷ

ἀξιώματι, εἰ δὲ τοῦτο καὶ τῇ φύσει, ἐπήγαγεν ὡς ὁ ἄνθρωπος οὗτος θρασὺς καὶ τολμητίας. Ὥστε πῶς ὁ χαλεπαίνων κατὰ τοῦ Εὐνομίου, καὶ ὡς δραματουργεῖν αὐτὸν αἰτιώμενος, οὗτος τῶν φωνῶν αὐτοῦ αὐτογνώμων λεχθῇ καὶ αὐτάγγελος; Εἶτα βουλόμενος ὁ Ἅγιος ἐκ περιουσίας τὸν αἱρετικὸν περιτρέψαι, καὶ δεῖξαι ὡς εἰ καὶ τοῦτο δοθείη, οὐ συμπεραίνεται τὸ σπουδαζόμενον αὐτῷ ἀσέβημα πρὸς ὃ πᾶς ὁ ἀγὼν, προὔθετο σχήματι ἀντιπεριστάσεως ὡς εἰ καὶ οὕτως συγχωρηθείη εὐσεβῶς νοηθησόμενον, οὐκ ἄρα ἑτεροφυὲς ἔσται τὸ Πνεῦμα. Καὶ ἄγγελοι γὰρ διάφοροι τῇ τάξει καὶ τῷ ἀξιώματι, ἀλλ᾽ οὐ τῇ φύσει, ὥσπερ ἐπενεγκεῖν δεῖ, ἀλλ᾽ οὐδὲ ἐξ ἀλλήλων οὗτοι, εἰ καὶ οὕτω διεννόχασιν. Ὑποβέβηκε καὶ ἀδελφὸς ἀδελφοῦ· ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ. Ὅτι δὲ ὁ κλεινὸς οὗτος Πατὴρ οὐκ ἐκ τοῦ Υἱοῦ, ἀλλ᾽ ἐκ τοῦ Πατρὸς μόνου ὡμολόγει τὸ Πνεῦμα, καὶ ἄλλαι μὲν πλεῖσται μαρτυρίαι αὐτοῦ ἐναργῶς παριστῶσι, οὐχ ἧττον δὲ καὶ αὗται. Φησὶ γάρ: ὁ τὸ Πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ καὶ τὸ οὗ ἐστι τὸ Πνεῦμα, τοῦ Χριστοῦ γάρ, καὶ τὸ ἐξ οὗ, ἐκ τοῦ Θεοῦ γάρ, καθὰ φησὶ ὁ Ἀπόστολος. Ὡς δὴ θεῖος ἀνήρ, τοῦ Ἀποστόλου εἰπόντος τὸ Πνεῦμα τοῦ Χριστοῦ, ἔφησεν εἰρηκέναι τοῦτο αὐτὸν διὰ τὴν κατὰ φύσιν οἰκείωσιν, ἀλλ᾽ οὐ διὰ τὸ ἐκ τοῦ Χριστοῦ προελθεῖν αὐτό, ὡς ὁ Ἰταλὸς δοξάζει ἀντιτασσόμενος τῷ Ἁγίῳ. Πάλιν ὁ αὐτὸς Πατὴρ διδάσκων τὸ Πνεῦμα ἐξημμένον εἶναι καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἐκεῖ μὲν ἔφησε τῆς αἰτίας αὐτὸ ἐξῆφθαι τοῦ Πατρός, ὧδε δὲ τοῦ Υἱοῦ διὰ τὸ ἀδιάστατον. Ὥστε μίαν αἰτίαν τοῦ Πνεύματος σύνοιδε, τὸν Πατέρα.

η΄. Ἄλλη ἀντίθεσις. Ἀλλ᾽ ὁ Νύσσης εἰπὼν ὡς ὁ Υἱὸς μὲν προσεχῶς ἐκ τοῦ Πρώτου, τὸ δὲ Πνεῦμα διὰ τοῦ προσεχῶς ἐκ τοῦ Πρώτου, οὐκ ἔξω τῆς αἰτίας τοῦ Πνεύματος τὸν Υἱὸν εἶναι διαμαρτύρεται.

Ὅπερ ἐστὶ ψευδές. Ὁ γὰρ ἐκ δυεῖν συνδυασμὸς εἰς τὴν τοῦ Πνεύματος ὕπαρξιν οὐ θεϊκὸν ὅλως, οὐδὲ τοῦ Πνεύματος ἄξιον τὸ ἐξ ἀμφοῖν προϊέναι. Τὸ γὰρ ἐξ ἁπλοῦ ἁπλοῦν· τὸ δὲ ἐκ δύο οὐχ ἁπλοῦν. Ἀλλ᾽ ἐπειδὴ ταῦτα μὲν πάντα ἄτοπα, οἴδαμεν δὲ τὸν ἁγιώτατον τῆς Νυσσαέων Γρηγόριον τὸ ἐκπορεύειν τὸ Πνεῦμα δεδωκότα μόνῳ τῷ Πατρί, διακριτέον ὅπως ἔχει ἐννοίας τὰ τοῦ ῥήματος. Πρῶτα μὲν τὰ κοινὰ τῆς Τριάδος διατετράνωκεν· εἶτα καὶ τὰς διαφορὰς αὐτῆς παραδέδωκεν. Καὶ μίαν μὲν ἔφησε [τὸ] εἶναι <τῇ οὐσίᾳ, τρεῖς δὲ ὑποστάσεις· ὡς εἶναι> τὸ μὲν τῆς Τριάδος αἴτιον, τὸ δὲ αἰτιατόν. Δεύτερον δὲ τὸ τὸν μὲν Υἱὸν εἶναι προσεχῶς ἐκ τοῦ Πρώτου, διὰ δὲ τοῦ προσεχῶς ἐκ τοῦ Πρώτου τὸ Πνεῦμα. Καὶ ἦν τὸ μὲν πρῶτον κατὰ τὸν λόγον τῆς αἰτίας, τὸ δὲ δεύτερον κατὰ τὸν λόγον τῆς τάξεως. Καὶ ὅρα πῶς αἴτιον εἶπε καὶ αἰτιατόν· οὐ μὴν δὲ καὶ αἰτιατοαίτιον, τὴν κοινὴν καθ᾽ ὑμᾶς τοὺς Ἰταλοὺς μῖξιν τὴν τῷ Υἱῷ ἐπιγεγραμμένην. Ὁποῖος δὲ καὶ ὁ λόγος τῆς τάξεως; Ἐπεὶ γὰρ ὁ Υἱὸς μονογενής, τὸ δὲ Πνεῦμα οὐ γεννητὸν ἀλλ᾽ ἐκπορευτόν, ὁ δὲ Υἱὸς εὐθὺς προφέρει τὸν Πατέρα καὶ ὑπὸ τοῦ Πατρὸς προφέρεται — τοιοῦτος δὲ ὁ λόγος τῶν πρός τι —, καὶ δεῖ τετηρῆσθαι τὸ σχετικὸν αὐτῶν ἀξίωμα ὅ ἐστι τὸ ἅμα τετάχθαι ταῦτα καὶ συνεκφέρεσθαι, διὰ τοῦτο πρῶτον μὲν ἐκάλεσε τὸν Πατέρα, δεύτερον δὲ καὶ προσεχῆ τὸν

Υἱόν. ἵνα δὲ μή τις ὑπολάβοι ὡς, ἐπεὶ τρίτον τὸ Πνεῦμα, ἀπεσχίνισται ἄρα τοῦ Πατρός, ἐπήγαγε "διὰ δὲ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου τὸ Πνεῦμα", δεικνύων τὴν κατὰ φύσιν οἰκείωσιν τοῦ Υἱοῦ πρὸς τὸ συγγενὲς Πνεῦμα [καὶ] <τὸ> οὕτω δι' Αὐτοῦ τῷ Πατρὶ συναπτόμενον. Ὅτι δὲ διὰ τὸ σχετικὸν τῶν ὀνομάτων τῆς πατρότητος καὶ τῆς υἱότητος καὶ τὸ συναφὲς αὐτῶν ἡ μέση τάξις τῷ Υἱῷ ἀποδέδοται — οὔτε γὰρ ἡ γέννησις πρόδρομος τῆς προέσεως, οὔτε ἡ πρόεσις τῆς γεννήσεως· ἅμα γὰρ ἐκ τοῦ Πατρὸς ἐξῄεσαν τὸ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς καθὼς ὁ Θεολόγος φησὶ Γρηγόριος "πότε ὁ Υἱὸς γεγέννηται; Ὅτε τὸ Πνεῦμα ἐκπεπόρευται· πότε τὸ Πνεῦμα ἐκπεπόρευται; Ὅτε ὁ Υἱὸς γεγέννηται"· οἱ γὰρ προποδισμοὶ καὶ ὑποποδισμοὶ ἐπὶ τῶν κάτω γεννήσεων· ταῦτα δὲ <τῆς θείας φύσεως> ἀπεῤῥάπισται· ὅτι μηδὲ ἀδελφοὺς λέγειν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἐπιτέτραπται — ὅτι τοίνυν διὰ τὸ σχετικὸν τῶν ὀνομάτων ἡ μέση τάξις τοῦ Υἱοῦ, καὶ αὐτὸς ὁ Νύσσης εὖ ποιῶν ἐμφανῶς διερμήνευκεν. Οὐδὲ γὰρ ἐπήγαγεν ὡς τούτου ἕνεκεν ὁ Υἱὸς μέσος, ἵνα καὶ αὐτῷ φυλάττοιτο τὸ αἴτιον τοῦ Πνεύματος, ἀλλ' ὡς τὸ μονογενές· τὸ γὰρ Πνεῦμα οὐ γεννητόν, καὶ διὰ τοῦτο τρίτον τῇ τάξει τῶν ὀνομάτων καὶ τῇ ἐκφωνήσει, καθὼς καὶ ἐν τῇ τοῦ Ἁγίου Βαπτίσματος ἱερολογίᾳ παραδέδοται. Διὸ καὶ ὁ Οὔγων ὁ Ἐτεριανὸς προθέμενος τὴν χρῆσιν ταύτην, παρέλιπε δολίως τὸ "ἵνα καὶ τὸ μονογενὲς φυλάττοιτο".

θ΄. Ἄλλη ἀνάθεσις. Ἔφησέ που ὁ ἱερὸς Κύριλλος: Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ πρόεισιν. Οὗ τί ἐκδηλότερον;

Ἀπό⟨κρισις⟩. Ἀνάγνωθι τὴν ἐπιγραφὴν τοῦ χωρίου καὶ αὐτὴ σαφηνιεῖ σοι πῶς φησὶ ἐκ τοῦ Υἱοῦ προϊέναι τὸ Πνεῦμα. Ἔχει δὲ οὕτως ἐπὶ ῥητοῦ: Ἀπόδειξις ὅτι ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τὸ Πνεῦμα. Τοῦτο προεθεμά⟨τισται⟩ ὅτι γε καὶ εἰς τοῦτο ἡ δεῖξις, ἀλλ᾿ οὐχ ὅτι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευτόν. Συγκεφαλαιωτέον δὲ εἰς πληροφορίαν περιεργοτέραν καὶ τὸ ὅλον ἐπιχείρημα. Συνάγει γὰρ οὕτω: ὡς ἐπεὶ καὶ ὁπηνίκα ὁ Ἀδὰμ πεπλαστούργητο, ἐκ τοῦ Θεοῦ τὸ ἐμφύσημα τὸ ζωῶσαν αὐτὸν καὶ ἁγιάσαν· ἐκ τοῦ Χριστοῦ δὲ καὶ πάλιν ἐμφύσημα δι᾿ οὗ ἔλαβον πνεῦμα ἅγιον οἱ Ἀπόστολοι· οὐκ ἀλλότριον ἄρα καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα· διὸ καὶ ἐξ αὐτοῦ ἔφησεν προϊέναι ἤ τ᾿ οὖν ἐμφυσᾶσθαι καὶ ἐκχεῖσθαι. Τὸ δὲ ἐμφύσημα, δωρεὰ τοῦ Πνεύματος, οὐ τρόπος τῆς αὐτοῦ ὑπάρξεως. Λάβε μοι δὲ καὶ τοῦτο σημεῖον ὅτι καὶ τὸ "ἐξ αὐτοῦ" καὶ τὸ "πρόεισι" διχῶς νενόηται, τό τε ἐξ αὐτοῦ εἶναι ὡς ἐξ αἰτίου καὶ τὸ κατ᾿ οὐσίαν ᾠκειῶσθαι (ὡς εἴ τις φαίη τόδε τὸ ὕδωρ ἐκ τοῦδε τοῦ ὕδατος διὰ τὸ ταυτὸν τῆς οὐσιώδους ποιότητος)· καὶ τὸ πρόεισιν ἢ κατὰ τὸν λόγον τῆς ἐκπορεύσεως ἢ τῆς ἐμφυσήσεως ἢ ἐκχύσεως ἢ ἀναδείξεως. Ὅτι δὲ ὁ Ἅγιος οὐκ ἐγίνωσκε τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορευτὸν ἢ μοναχῶς ἐκ τοῦ Υἱοῦ, ἀλλ᾿ ἐκ μόνου τοῦ Πατρός, μεμαρτύρηκε μὲν τοῦτο σαφῶς πλειστάχου, δεδήλωκε δὲ καὶ ἡ πρὸς τὸν Θεοδώριτον ἀπολογία. Ἔστι δὲ καὶ ἑτέρα τις ὁμολογία τοῦ Πατρὸς τοῦδε, ἣν καὶ λέξων ἔρχομαι. Τοῦ γὰρ μακαρίου Ἰωάννου

εἰρηκότος ἐν τοῖς Εὐαγγελίοις "τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται", ἐπιφέρει οὗτος: "Πῶς οὖν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ πνεῦμα τῆς ἀληθείας ὑπάρχον διὰ τὴν ἐμφέρειαν καὶ τὴν τῆς οὐσίας ταυτότητα ὡς ἀλήθειαν καλεῖσθαι αὐτό, γεννητὸν ἂν εἴη;" ὥστε ἐδέξατο μὲν τὸ ἐκ Πατρὸς ἐκπορεύεσθαι· πνεῦμα δὲ τῆς ἀληθείας λέγεσθαι, ἥτις ἐστὶν ὁ Υἱός, οὐ διὰ τὸ ἐξ αὐτοῦ τοῦτο ἐξιέναι ἐκπορευτῶς, ἀλλὰ διὰ τὴν τῆς οὐσίας ταυτότητα, καθ' ὃν τρόπον καὶ πνεῦμα Χριστοῦ ἐρρέθη. Καὶ πάλιν, "μὴ μέταιρε", φησί, "ὅρια ἃ ἔθεντο οἱ πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ." Καὶ γοῦν ἐκπορεύεται μὲν τοῦ Πατρός, οὐκ ἀλλότριον δὲ τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον ἐστίν.

γ'. Ἄλλη ἀντίθεσις. Ὁ ἐν θεολογίᾳ μέγας Γρηγόριος, διακρίνων τὰ τῆς Ἁγίας Τριάδος πρόσωπα, οὕτω φησίν: "ἄναρχον· ἀρχή· καὶ τὸ μετὰ τῆς ἀρχῆς". Ὡς γοῦν τὸ ἄναρχον τοῦ Πατρὸς ὑποστατικόν, οὕτω καὶ ἡ ἀρχὴ τοῦ Υἱοῦ ὑποστατική· εἰ δὲ ὑποστατική, καὶ ἐξ αὐτοῦ ἄρα τὸ Πνεῦμα.

Ἀπόκρισις. Ὅτι δὲ ὁ αὐτὸς Ἅγιος τοιουτώδεσιν ὀνόμασι τὰ κατὰ τὴν Τριάδα διακέκρικεν "αἰτίῳ· δημιουργικῷ· τελειοποιῷ", πότερον καὶ ταῦτα ὑποστατικά; Καὶ εἰ οὕτω, πολλὰ ἄρα αὐτά. Τί δέ, οὐ δημιουργεῖ καὶ ὁ Πατήρ; Οὐ τελειοποιεῖ καὶ ὁ Υἱός; Καὶ πῶς ὑποστατικά; Ἀλλ' οὔτε ταῦτα ἰδιότητες τῶν ὑποστάσεων,

οὔτε ἐκεῖνα· πάντα δὲ κοινά. Ἔθος δὲ τῇ Ἁγίᾳ Γραφῇ δι' οἰκείωσιν τῶν ὑποστάσεων ἐπιμερίζειν αὐταῖς ὡς ἴδια τὰ κοινά. Καὶ λαμβάνει μὲν ὁ Πατὴρ τὸ εὐδοκεῖν καὶ τὸ Θεὸς (εἷς γάρ, φησὶν ὁ Παῦλος, Θεός, ὁ Πατήρ) καὶ τὸ αἴτιον τῆς δημιουργίας καὶ τὸ κατὰ χρόνον ἄναρχον (τοῦτο γὰρ ὧδε λέγει ὡς ἐμοὶ δοκεῖ ὁ Ἅγιος)· ὁ δὲ Υἱὸς τὸ κύριος (εἷς γάρ, φησί, Κύριος Ἰησοῦς Χριστός) καὶ τὸ δημιουργός (γέγραπται γὰρ δι' αὐτοῦ πάντα γεγονέναι, καὶ χωρὶς αὐτοῦ γενέσθαι μηδὲ ἓν ὃ γέγονεν, ὥσπερ καὶ τὸ εἰρῆσθαι αὐτὸν ἀρχὴν ποιητικήν)· τὸ δὲ Πνεῦμα πάλιν τὸ ἅγιον, τὸ ζωοποιόν, τὸ τελειοποιόν. Ὅτι δὲ ἀρχὴν δημιουργικὴν εἴρηκε τὸν Υἱόν, εἰς ἣν οὐκ ἀναφέρεται τὸ Πνεῦμα τὸ Ἅγιον — ἄκτιστον γὰρ καὶ τῷ χρόνῳ ἄναρχον καὶ ὁμοούσιον τῷ Θεῷ καὶ Θεός — αὐτὸς μάρτυς σαφὴς ἐν ἑτέρῳ λόγῳ· φησὶ γάρ, ἀρχὴ ὁ Πατὴρ ὡς αἰτία καὶ πηγὴ καὶ ῥίζα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ὁ δὲ Υἱός, ἀρχὴ τῶν ὅλων.

ια'. Ἄλλη ἀντίθεσις. Πόθεν δῆλον λέγειν τὸν Ἅγιον περὶ τοῦ Πατρὸς τὸ κατὰ τὸν χρόνον ἄναρχον, ἀλλ' οὐ τὸ μὴ ἔκ τινος, ὃ τοῦ Πατρὸς ἰδιαίτατον· [ἢ τὸ] <καὶ> μὴ <τὸ> αἴτιον τὸ πατρικόν, ἐξ οὗ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἀλλὰ τὸ τῆς δημιουργίας;

Ἀπό<κρισις>. Πόθεν; Εἴπερ τὰ κυρίως ὑποστατικὰ τοῦ Πατρὸς προεχειρίσατο, ἦσαν ἂν συστοίχως καὶ

τὰ κυρίως ἰδιαίτατα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν· ἐπεὶ δὲ τὸ δημιουργικὸν καὶ τὸ τελειοποιὸν, τὰ κοινά, τὰ ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἐκφωνηθέντα, ἄρα καὶ τὰ τοῦ Πατρὸς· οὐχ οἷα τὰ κυρίως ὑποστατικά.

ιβ′ Ἄλλη ἀντίθεσις. Φησὶν ὁ αὐτὸς Θεολόγος, ὡς ὁ Υἱὸς εἰκὼν ζῶσα τοῦ Πατρὸς διὰ τὸ ὁμοούσιον καὶ τὸ ἐκεῖθεν εἶναι. Καὶ ἐπεὶ ἐρρέθη καὶ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ, ἐξ αὐτοῦ ἄρα.

Πρῶτον μὲν ἴσμεν ὡς ὁ Θεολόγος ἓν αἴτιον καὶ μίαν ἀρχὴν καὶ ῥίζαν καὶ ἕνα προβολέα, τὸν Πατέρα διεμαρτύρατο. Καὶ εἴπερ ἐδόξαζεν ὡς ἡ εἰκών τινος κατ᾽ οὐσίαν ἐξ ἀνάγκης καὶ ἐξ ἐκείνου· ἐρρέθη δὲ καὶ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ· οὐκ ἂν ὡμολόγει ἓν αἴτιον τὸν Πατέρα καὶ ἕνα προβολέα. Ἐπεὶ δὲ οὐ τὸ πρῶτον ἀληθές, οὐδὲ ἡ δυαρχία δοξαστὴ τῷ Ἁγίῳ. Εἶτα ἐπεὶ ἰδιαίτατον τῆς εἰκόνος, εἴτε φυσικῆς εἴτε μιμητικῆς, τὸ φέρειν ἐν ἑαυτῇ ὁμοίωμα οὗ εἰκών ἐστι καὶ λέγεται, καθὼς καὶ αὐτὴ ἡ ἐτυμολογία τοῦ ὀνόματος καὶ σιωπῶσα μηνύει· οὐκ ἄρα ὁ Υἱὸς ὡς ἁπλῶς εἰκὼν ἔχει καὶ τὸ ἐκεῖθεν, ἀλλ᾽ ὡς υἱός. Διὸ καὶ ὁ Ἅγιος συνέζευξε καὶ τὰ δύο, καὶ τὸ ὁμοούσιον καὶ τὸ ἐκεῖθεν, οὐχ ὡς κατὰ πάσης φυσικῆς

εἰκόνος κατηγορήσας αὐτά, ἀλλὰ τῆς τινος, τῆς εἰς Πατέρα ἀναφερομένης. Δείξατε τοίνυν καὶ τὸ Πνεῦμα ἐκπορευτὸν τοῦ Υἱοῦ ὥσπερ ὁ Υἱὸς γεννητὸς ἐκ τοῦ Πατρός, καὶ κατηγορήσετε τῆς εἰκόνος καὶ τὸ ὁμοούσιον πρὸς τὸν Υἱὸν καὶ τὸ ἐκεῖθεν. Εἰ δὲ μὴ τὸ ἐκπορευτόν, οὐδὲ τὸ ἐκεῖθεν· ἐπεὶ οὐχ ἡ εἰκὼν κατ᾽ οὐσίαν τοῦτο καὶ ἐξ ἐκείνου οὗ ἐστιν εἰκών, ὡς ἐξ ἀνάγκης ἀντιστρέφον. Δεδίδαχε τοῦτο καὶ ὁ μέγας Βασίλειος· παραδεδωκὼς γὰρ κανονικῶς πάντα τὰ σημαινόμενα τῆς εἰκόνος, τῆς τε φυσικῆς τῆς τε μιμητικῆς, οὐ ξυνήγαγεν ἐν τῇ περιληπτικῇ αὐτοῦ τῶν πάντων διδαχῇ καὶ τὸ ἐκεῖθεν· ὡς τῆς εἰκόνος τὴν ἐμφέρειαν γνωριζούσης, καὶ οὐχ ἕτερον.

ιγʹ. Ἄλλη ἀνάθεσις εἰς τὸ αὐτό. Εἰ μὴ τὸ Πνεῦμα ἐκπορευτὸν τοῦ Υἱοῦ, πῶς εἰκὼν αὐτοῦ [διὰ τὸ ὁμοούσιον];

Ἀπό<κρισις>. Ἐπεὶ ἐξ οὗ ὁ Υἱὸς γεγέννηται, ἐξ αὐτοῦ καὶ τὸ Πνεῦμα ἐκπεπόρευται· κατὰ τοῦτο τῆς αὐτῆς οὐσίας καὶ ἄμφω. Τὰ γὰρ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα.

ιδʹ. Ἔτι ὁ ἱερὸς Κύριλλος εἴρηκε τὸ Πνεῦμα εἰκόνα τοῦ Υἱοῦ. Καὶ εἰ μὲν ἐπήγαγε διὰ τὸ ἐκπορευτὸν εἶναι τοῦτο ἐξ αὐτοῦ, δείξατε ἐπὶ ῥητοῦ, καὶ ἔχετε ὅσον ἐκ τοῦ ἱεροῦ Κυρίλλου σταθερὰν τὴν μαρτυρίαν. Εἰ δὲ διὰ τὸ

ὁμοούσιον (ὅπερ ἀνάγκη εὑρεῖν καὶ γνῶναι δὴ καὶ ὑμᾶς ὅπως ὁ Ἅγιος αὐτὸ ἐκπεφώνηκεν), ἐπ' αὐτὸ τοῦτο ἐκλαμβάνειν, ἀλλὰ μὴ παραχρῆσθαι, μηδ' ἑτεροδιδασκαλεῖν καὶ καπηλεύειν τὰ τῶν ἁγίων ῥήματα μιγνύντας τὸν οἶνον ὕδατι.

ιε΄. Ἄλλη ἀντίθεσις. Εἰ οὐκ ἔστιν ὁ Υἱὸς ἀρχέτυπον, οὐ δεῖ λέγειν τὸ Πνεῦμα εἰκόνα τοῦ Υἱοῦ.

Ἀπόκρισις. Ἐπεὶ ἡ εἰκὼν ἀεὶ τῆς ἐμφερείας εἰκὼν ἐστὶ οὗ λέγεται, διὰ τὸ ταυτὸν ἄρα τῆς οὐσίας ἐρρέθη καὶ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ.

ιϛ΄. Ἔτι τίς ἡ ἀποκλήρωσις; Εἰκόνα μέν τινος εἰρῆσθαι κατ' ἀρετὴν ἢ λόγον ἢ σχῆμα ἢ μορφὴν, μὴ εἶναι δὲ ἀνάγκη εἰρῆσθαι καὶ ἐξ ἐκείνου· κατ' οὐσίαν δὲ μὴ δίδοσθαι, εἰ μὴ καὶ ἐξ ἐκείνου ἐστίν.

Σαφὴς ἐστὶν ἐπήρεια τὸ προβαλλόμενον καὶ δεῖγμα τῆς φιλονεικοῦ γνώμης πρόδηλον. Ὅτι ὁ Σὴθ ὅμοιος μὲν τῷ Ἄβελ κατ' οὐσίαν καὶ κατ' εἰκόνα τούτου παρῆχθαι παραδέδοται· οὐ μὴν καὶ ἐξ Ἄβελ εἰληφέναι διὰ τοῦτο τὴν γένεσιν.

ιζ΄. Ἄλλη ἀντίθεσις εἰς τὸ αὐτό. Ἐπεὶ κατὰ τὸ ὁμοούσιον ἐρρέθη τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ, ἀλλ' οὐ κατὰ τὸ ἐξελθεῖν ἐκπορευτῶς ἐκ τοῦ Υἱοῦ, ἵνα τί μὴ καὶ ὁ

Υἱὸς ἀντιστρόφως εἰκὼν τοῦ Πνεύματος λέγεται;

Ἀπό‹κρισις›. Τί ἀπαιτεῖτε δίδοσθαι λόγους ὑπὲρ ὧν οἱ Πατέρες οὐκ εἰρήκασι; Τοῦτο πρώτως εἰπεῖν ἔχομεν. Ὡς εἰ μὴ τῆς οὐσίας τοῦ Θεοῦ ἀπενόσφιζον οἱ αἱρετικοὶ τὸ Πνεῦμα, οὐδ' αὐτὸς ὁ ἅγιος Κύριλλος εἰρήκει αὐτὸ εἰκόνα τοῦ Υἱοῦ· ἤρκει γὰρ τὸ εἰρῆσθαι αὐτὸ εἰς πλάτος εἰκόνα τοῦ Θεοῦ καὶ Πατρός· εἰ δὲ τοῦ Θεοῦ, καὶ τοῦ Υἱοῦ αὐτοῦ. Ἀντιστροφῆς δὲ ποία χρεία καὶ τοῦ Υἱοῦ πρὸς τὸ Πνεῦμα; Ἦν γὰρ τοῖς Πατράσιν ἀγὼν παραστῆσαι τὸ Πνεῦμα ὁμοούσιον τῷ Υἱῷ, οὐ μὴν τὸν Υἱὸν ὁμοούσιον τῷ Πνεύματι, λογομαχουμένης τῆς οὐσίας αὐτοῦ ὑπὸ τῶν Μακεδονιανῶν καὶ καταγομένης εἰς κτίσμα. Ἔτι τὸ υἱὸς ἔχει σχέσιν ἀναφορᾶς πρὸς πρωτότυπον, καὶ διὰ τοῦτο οὐκ ἔδοξε δεῖν εἰρῆσθαι ἀντιστρόφως καὶ τὸν Υἱὸν εἰκόνα τοῦ Πνεύματος. Ἀλλὰ καὶ εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὅτι συμμόρφους ἡμᾶς αὐτῷ ποιεῖ καθ' ἃ καὶ ὁ Υἱός. Οὕτω γὰρ καὶ ὁ μέγας Βασίλειος τὸ τῆς εἰκόνος λαμβάνει. Ἔτι εἰκὼν τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὅτι ἀκολούθως τῷ Υἱῷ πέμπεται· καὶ ὅτι Υἱὸς μὲν σαρκοφόρος τοῖς ἐπὶ γῆς συναναστρέφεται, ἐν εἴδει δὲ περιστερᾶς καὶ τὸ Πνεῦμα κάτεισι ἐπὶ τὸ βάπτισμα· καὶ μετὰ τὴν ἄνοδον τοῦ Υἱοῦ κάθοδος τοῦ Πνεύματος ἐν εἴδει πυρίνων γλωσσῶν. Ἔτι κεχειροτόνηκεν ὁ Υἱὸς ἀποστόλους ἐπὶ τὸ κήρυγμα· ἀφορίζει καὶ τὸ Πνεῦμα ἐπὶ τὸ αὐτὸ Παῦλον καὶ Βαρνάβαν.

Ἐνεφύσησεν ὁ Υἱὸς καὶ εἶπε τοῖς θεοκήρυξι λάβετε Πνεῦμα ἅγιον τὸ λυτικὸν τῶν ἁμαρτιῶν· δέδωκεν ὕστερον καὶ τὸ Πνεῦμα τοῖς αὐτοῖς πνεῦμα ἑρμηνείας γλωσσῶν καὶ ἐδίδαξε καθὼς γέγραπται πᾶσαν ἀλήθειαν.

ιη΄. Ἄλλη ἀνάθεσις. Οὐκ ἀληθὲς τὸ λέγειν ὡς ὃ τοῖς δυσὶν κοινόν, τοῦτο καὶ τοῖς τρισί. Πέμπει γὰρ ὁ Πατήρ, πέμπεται δὲ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα. Καὶ πάλιν: πέμπει ὁ Πατὴρ καὶ ὁ Υἱὸς τὸ Πνεῦμα· τὸ δὲ οὐ πέμπει.

Ἀπό‹κρισις›. Ἔστιν ἐκ τῆς προφητείας μαρτυρία ὡς στέλλει καὶ τὸ Πνεῦμα τὸν Υἱόν. Πλὴν ἐπεὶ ὁρίζεται τοῖς Πατράσιν ἡ πέμψις καὶ ἡ ἀποστολὴ εὐδοκία τις εἶναι καὶ θέλησις, μία δὲ αὕτη τοῖς τρισὶν προσώποις, πέμπει ἄρα καὶ τὸ Πνεῦμα. Εἰ δὲ μὴ πέμπει, ἑτεροδοκοῦν ἐστὶν καὶ ἑτεροθέλητον (εἰ δὲ ταῦτα, ἑτεροφυές), ἐπεὶ ταυτὸν ἡ πέμψις καὶ ἡ εὐδοκία· ὅπερ ἄτοπον. Ταυτοθελὲς γὰρ καὶ τὸ Πνεῦμα καὶ ὁμοφώνως συνευδοκοῦν. Ἔτι γέγραπται τὸν Υἱὸν καὶ τὸ Πνεῦμα πέμπεσθαι, οὐδαμοῦ τὸν Πατέρα, καθ' ὅτι ὁ μὲν ἀληθῶς σεσάρκωται καὶ ὤφθη σωματικῶς τοῖς ἀνθρώποις, τὸ δὲ ἐν εἴδει σώματος ἐφάνη κατιὸν ἐπ' ἡμᾶς· ὁ δὲ Πατὴρ οὔτε ἐν ἀληθείᾳ σαρκός, οὔτε ἐν σχήματι. Πλὴν ὅπου ἡ δίδυμος αὕτη ἀκτίς, ἐκεῖ καὶ ἡ ἡλιώδης εὐδοκία τοῦ Πατρὸς ἐπιφώσκει. Προσ-είποιμι δὲ καὶ ὃ φησὶ θαυμασίως ὁ Χρυσορρόας περὶ

τῆς πέμψεως. Ὡς ἐπὶ τὸ Πνεῦμα, ἀπερίγραπτον ὄν, πανταχοῦ παρεστιν ἀμερίστως καὶ τὰ πάντα πληροῖ καὶ ὅπου θέλει δεσποτικῇ ἐξουσίᾳ καὶ θεϊκῇ πνεῖ, [τίς] ἡ πέμψις οὐκ ἄλλο τι, ἀλλ᾽ ἢ δεῖξις ὡς ἄλλο τὴν ὑπόστασιν ὁ Υἱὸς καὶ ἕτερον τὸ Πνεῦμα παρ᾽ αὐτόν. Καὶ ἀνῄρηται ὁ Σαβελλισμός· ὁ γὰρ πέμπων καὶ τὸ πεμπόμενον ἑτερουπόστατα.

ιθ΄. Ἄλλη ἀντίθεσις εἰς τὸ αὐτὸ πρόβλημα. ὁ Υἱὸς καὶ τὸ Πνεῦμα παράκλητοι εἴρηνται, ὁ δὲ Πατὴρ οὐχί. Οὐκ ἄρα ὃ τοῖς δυσί, τοῦτο καὶ τοῖς τρισίν.

Ἀπό⟨κρισις⟩. Ὢ τῆς παραπληξίας, ὅτι οὐκ ἔστιν οὐδὲ εἴρηται παράκλητος ὁ Πατήρ. Εἰ γὰρ τὸ ὄνομα διχόθεν σεσημασμένον παρῆκται ἢ ἐκ τοῦ τὸν Θεὸν παρακαλεῖν ἡμᾶς ἐπεγνωκέναι αὐτὸν καὶ δεδράχθαι παιδείας καὶ τῷ θείῳ φόβῳ ἐσπαργανῶσθαι, ὅς ἐστι ἀρχὴ σοφίας, ἢ ἐκ τοῦ ὑφ᾽ ἡμῶν παρακαλεῖσθαι αὐτὸν οἷα Θεὸν ἔχοντα ἐν ἐξουσίᾳ τὸ ἐλεεῖν καὶ σώζειν· ὁ δὲ Πατὴρ οὔτε παρακαλεῖ οὔτε παρακαλεῖται, καὶ κατὰ τοῦτο οὐδὲ Παράκλητος εἰρήσεται· μηδόπως ἄρα καὶ οὐδὲ πατήρ — πατρὸς γὰρ τὸ τοὺς παῖδας τηρεῖν ἐπιμελῶς — ἀλλ᾽ οὐδὲ Θεός — θεοῦ γὰρ τὸ θεᾶσθαι προνοητικῶς τὰ καθ᾽ ἡμᾶς καὶ ἐπισκέπτεσθαι τῇ ἀγαθωτάτῃ αὐτοῦ ἐξ ὕψους ἐπισκοπείᾳ καὶ φιλανθρώπῳ ἐπιτροπείᾳ. —

Καὶ οὐδὲ τὸ ὄντως ὂν ἐφετὸν καὶ ἐραστόν, <οὐδὲ> αὐτὸ γὰρ <οὕτως> ἐρᾷ ἐρᾶσθαι καὶ διψᾷ διψᾶσθαι. Ἀλλ᾽ οὐδὲ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα Παράκλητοι, εἴπερ μὴ ὁ Πατήρ· πάντα γὰρ ὅσα ἔχουσι οἱ ἐξ αὐτοῦ θεόφυτοι βλαστοί, τοῦ Πατρὸς ἐξῆπται καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πηγάζεται. Ἀλλ᾽ ὁ τοῦτο κατὰ τοῦ Θεοῦ καὶ Πατρὸς γλωσσαλγῶν ἐρρέτω. Τοσοῦτον γὰρ <οὗτος> τῶν θέσει καὶ χάριτι υἱῶν αὐτοῦ κηδεμὼν καὶ διψωδέστατος ἐραστὴς τῆς σωτηρίας ἡμῶν, ὥστε καὶ τὸν φύσει Υἱὸν αὐτοῦ τὸν μονογενῆ ηὐδόκησεν ὑπὲρ ἡμῶν παθεῖν. Κεῖται μὲν οὖν καὶ ἐπὶ τοῦ Πατρὸς ἡ τοῦ Παρακλήτου προσηγορία καὶ φέρει ψαλμικῶς καὶ ῥάβδον παιδευτικὴν τῶν υἱῶν αὐτοῦ καὶ βακτηρίαν τῆς παρακλήσεως· οὐ στερεῖ τοῦτον οὐδὲ Παῦλος τῆς θείας ταύτης κλήσεως· πλεονάζει δὲ ἡ φωνὴ ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος διὰ τὴν πρὸς ἡμᾶς αὐτῶν ἐπιδημίαν καὶ τὴν διὰ μέσων αὐτῶν ἀναγωγὴν ἡμῶν πρὸς τὸν ἀόρατον Θεὸν καὶ Πατέρα.

η! Ἄλλη ἀντίθεσις εἰς τὸ αὐτὸ ζήτημα.
8 Υἱὸς καὶ τὸ Πνεῦμα αἰτιατά· ὁ δὲ Πατὴρ μόνος αἴτιος.

Ἀπό<κρισις>. Ἀλλὰ κατὰ τοὔνομα.

Ἕτερος γὰρ ὁ τρόπος τῆς ὑπάρξεως τοῦ Πνεύματος καὶ ἕτερος ὁ τοῦ Υἱοῦ, καθ᾽ οὓς δὴ τρόπους καὶ

ὑποστατικῶς οἱ ὁμοφυεῖς βλαστοὶ διεννόχασι. Εἰ τοίνυν κατὰ τὸ ὄνομα <μία> καὶ ἡ προβολὴ τοῦ Πατρὸς καὶ ἡ τοῦ Υἱοῦ, ἄλλο μὲν ὁ Πατὴρ προβάλλει Πνεῦμα, ἄλλο δὲ ὁ Υἱός. Ὅπερ ἄτοπον· τετρὰς γὰρ ἔσται ἡ τριάς. Ἀλλά, φασίν, οὐχ ἕτερον καὶ ἕτερον, ἀλλὰ τὸ αὐτό· ἡ δὲ διαφορὰ ὅτι ἐκ μὲν τοῦ Υἱοῦ ἀμέσως τὸ Πνεῦμα διὰ δὲ τοῦ Υἱοῦ μέσον καὶ ἐκ τοῦ Πατρός. Ματαία ἡ καινοτομία καὶ ἐπίπλαστον τὸ χρῶμα τῆς μεσοαμεσότητος καὶ τὸ τῆς διαφορᾶς. Εἰ γὰρ ἐκ τοῦ Υἱοῦ ἀμέσως τὸ Πνεῦμα ἐξῄει, καὶ τελείως ἄρα· εἰ δὲ τελείως, αὐτὸς ὁ Υἱὸς προβολεὺς καὶ οὐχ ὁ Πατήρ· καὶ ἀπώλεσεν οὗτος μετὰ τοῦ λόγου τῆς προβολῆς καὶ τὸ ὄνομα. Ὅπερ ἄτοπον καὶ κένωσις τοῦ Εὐαγγελίου. Ἔτι τούτου καθ' ὑμᾶς δεδομένου, οὐκ ἔσται ἄλλως νοῆσαι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός, εἰ μὴ ὡς υἱωνὸν ἐκ τοῦ πάππου, ἀλλ' οὐχ ὡς ἐκ προβολέως ἐκπορευτόν, τοῦ Υἱοῦ μεσιτεύοντος τῇ τοιαύτῃ σχέσει. Ἀλλὰ μὴν τὴν τοιάνδε σχέσιν τὴν υἱωνικὴν πάμπαν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἀπεκήρυξεν· ὁ γὰρ Χριστὸς μόνῳ τῷ Πατρὶ τὸ ἐκπορεύειν τὸ Πνεῦμα ἐπεκλήρωσεν. Οὐκ ἄρα ἐκ τοῦ Υἱοῦ ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευτόν.

κα΄. Πάλιν ἀνάθεσις ἐπὶ τὸ αὐτὸ διὰ παραδείγματος. Ὥσπερ ὁ ποταμὸς ἀμέσως μὲν ἐκ τῆς πηγῆς, διὰ δὲ τῆς πηγῆς ἐμμέσως καὶ ἐκ τοῦ ὀφθαλμοῦ ἐξ οὗ ἡ πηγή,

οὕτω καὶ τὸ Πνεῦμα.

Ἀπό<κρισις>. Ἐρωτῶ ὑμᾶς· ἐκ τῆς πηγῆς πρώτως καὶ ἀμέσως ἐξῆλθεν ὁ ποταμὸς ὡς τὸ Πνεῦμα καθ' ὑμᾶς ἀμέσως ἐκ τοῦ Υἱοῦ; Καὶ εἰ τοιουτοτρόπως, ἡ πηγὴ ἄρα προβλητικὴ ποταμοῦ, ὁ δὲ ὀφθαλμὸς οὐ προβολεὺς αὐτοῦ, ἀλλὰ διὰ μέσης τῆς πηγῆς. γνήσιος αὐτῷ * κατ' οὐσιώδη ποιότητα. Ἀλλὰ μὴν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ἅμα ἐκ τοῦ Πατρὸς ἐξιέναι γέγραπται, τὸν μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ὡς διρρύτους ποταμοὺς ἐξ ἑνὸς ὀφθαλμοῦ.

νβ'. Ἄλλη ἀντίθεσις εἰς τὸ αὐτό. Καὶ μὴν ὁ θεολόγος Γρηγόριος ἀναλογεῖ μὲν τὸν Πατέρα τῷ ὑδρορρόῳ ὀφθαλμῷ, τὸν δὲ Υἱὸν τῇ πηγῇ, τὸ δὲ Πνεῦμα τῷ ποταμῷ. Καὶ συλλογιστέον ὡς ὃν τρόπον ἡ πηγὴ ἐκ τοῦ ὀφθαλμοῦ, οὕτω καὶ ἐκ τῆς πηγῆς ὁ ποταμός.

Ἀπό<κρισις>. Πρῶτον μέν, φύσις παραδειγμάτων τὸ εἶναι τὸ ἰσάζον ἔν τινι μέρει ἀλλ' οὐκ ἐν ὅλῳ. Εἰ γάρ τοι ἐν ὅλῳ ἡ εἰκασία, ἐν δὲ τῷ ἀριθμῷ

* fortasse legendum: <οὐδὲ> γνήσιος αὐτῷ <ὁμοφυὴς ὑποστάτης>; vel e.g.: <εἰ καὶ> γνήσιος αὐτῷ <συγγενὴς, ὁ αὐτὸς ὤν>; vel γνήσιος αὐτῷ <σύμφυλος> vel simpliciter γνήσιος αὐτῷ <καὶ ὁ αὐτὸς> quod magis placet.

ταῦτα τὰ τρία, ἄρα καὶ ἡ μακαρία τριάς· ἀλλὰ μὴν τρισὶν ἀριθμοῖς διαιρετὴ (τρισυπόστατος γάρ)· οὐκ ἄρα ἐν ὅλῳ ἡ θεωρία. Εἶτα [ἐπεὶ] ὁ μὲν θεολόγος Γρηγόριος ἐν τούτοις μόνοις τὴν εἰκασίαν ἀμυδρῶς πως παρείληφε, τῷ μήτε χρόνῳ δηλαδὴ ταῦτα διεστηκέναι, μήτε ἀλλήλων ἀπερρῆχθαι τῇ συνεχείᾳ, καὶ δοκεῖν πως τρισὶν ἰδιότησι τέμνεσθαι διαφόρως σχηματιζόμενα· ὑμεῖς δὲ καπηλεύετε τὸν λόγον τῆς ἀληθείας καὶ νοθεύετε τὸ ρητὸν τοῦ θεοφόρου πατρὸς καὶ τὴν διάνοιαν, λαλοῦντες πηγὴν εἰρῆσθαι τὸν Υἱὸν διὰ τὸ ἐξ αὐτοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι — ὃ μὴ ἐλάλησεν ὁ Ἅγιος.

ιγ! Ἄλλη ἀνάθεσις. Εἴπερ ὁ μὲν Πατὴρ καθ' ὃ γεννᾷ καὶ προβάλλει δύο δόξας ἔχει· ὁ δὲ Υἱὸς γεννᾶται μὲν οὐ προβάλλει δέ, καὶ τὸ Πνεῦμα πρόεισι μὲν ἐκ τοῦ Πατρὸς οὐ μὴν δὲ καὶ ἐκ τοῦ Υἱοῦ· ἐλλείπουσι ἄρα τοῦ Πατρὸς κατὰ δόξαν. Ἀλλὰ μήν, τοῦτο ἄτοπον· ἀνάγκη γὰρ ὁμοδόξους εἶναι. Προβάλλει ἄρα καὶ ὁ Υἱὸς τὸ Πνεῦμα καὶ οὕτω ἑκάστῳ τῶν θεαρχικῶν προσώπων αἱ δόξαι δύο εἰσίν.

Ἀπό<κρισις>. Ἡ δόξα τῆς Ἁγίας Τριάδος φυσική, καὶ μία ὅλη ἐν ὅλῳ τῷ Πατρί, καὶ ὅλη ἐν ὅλῳ τῷ Υἱῷ, καὶ ὅλη ἐν ὅλῳ τῷ Ἁγίῳ Πνεύματι. Καὶ ἡ

θεότης ἡ αὐτὴ ἐν τοῖς τρισί· δυάζειν δὲ αὐτὴν οὐκ ἐξὸν ἢ τριάζειν· ὅτι μηδὲ [τὴν θεότητα ἢ] τὴν κυριότητα ἢ τὴν βασιλείαν· ἄσχιστοι γάρ. Ἐπεὶ οὖν τὸ γεννᾶν καὶ τὸ προβάλλειν ἰδιότητες τῆς πατρικῆς ὑποστάσεως, εἰ κατὰ τὸν σὸν λόγον δυασθήσεται ἡ δόξα, διακριθήσεται καὶ τὸ ἔπαινον αὐτῆς· καὶ ὑποβληθήσονται τρόποι διαφόρων δοξῶν καὶ θεοτήτων καὶ κυριοτήτων καὶ βασιλειῶν· ἅπερ ἄτοπα καὶ ἀπόφημα. Ἐπ' ἀτόπῳ δὲ ἄτοπον παρυποσταίη, καὶ καινοτομία ἐπὶ καινοτομίᾳ. Ὡς μετατεθῆναι μὲν τὴν ἀκίνητον ἰδιότητα τοῦ Πατρὸς ἐπὶ τὸν Υἱόν, δεδωκέναι δὲ τῷ Πνεύματι ἑλληνικῶς δύο κόλπους γονίμους προβλητικοὺς αὐτοῦ, καὶ ἀφελεῖν ἐξ αὐτοῦ τὸ μοναδικὸν τῆς προόδου, ὃ καὶ θεϊκόν, ὁποῖον καὶ τῷ Υἱῷ τὸ τῆς γεννήσεως, κατακερματίσαι δὲ καὶ τὴν μίαν τῷ ἀριθμῷ δόξαν, καὶ ταύτην εἰς ἑξάδα <ἀναλῦσαι> δοξῶν διαφόρων τοῖς τρόποις. Εἴπερ δὲ καὶ ὁ Πατὴρ εἴρηται μείζων τοῦ Υἱοῦ ὡς αἴτιος, ἀλλ' οὐχ ὡς τῇ δόξῃ μείζων (ἀπείρηται γὰρ τοῦτο)· αἴτιος δὲ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ὡς τοῦ μὲν γεννήτωρ, τοῦ δὲ προβολεύς· οὐκ ἄρα τοῖς τρόποις τοῦ γεννᾶν καὶ τοῦ προβάλλειν ἑπομένη τίς ἐστιν ἡ δόξα, ἀλλὰ τῇ μιᾷ θεότητι. Πρὸς δὲ τούτοις, ἐὰν οἱ τρόποι δόξαι ὦσι καὶ ἔχῃ μὲν ὁ Πατὴρ τὸ γεννᾶν καὶ τὸ προβάλλειν, οὐ τὸ γεννᾶσθαι δὲ ἢ τὸ ἐκπορεύεσθαι, ἐλλείπεται ἄρα κατ' αὐτὸ καὶ ἀδοξεῖ ἐν μέρει καθ' ὑμᾶς. Κἀντεῦθεν, οἷς ἐπλουτίσατε τὸν Πατέρα, πάλιν αὐτὸν ἐπτωχίσατε.

Ἐπίγνωτε τοίνυν ὡς οἱ μὲν τρόποι ἄκοινοι καὶ ἀκίνητοι, ἵνα μὴ συγχέωνται αἱ ὑποστάσεις· τὸ δὲ γεννᾶν καὶ τὸ γεννᾶσθαι <καὶ τὸ προβάλλειν> καὶ τὸ ἐκπορεύεσθαι ἰδιώματα ὑποστατικὰ καὶ οὐ δόξαι· ἡ δὲ δόξα μία φυσικῶς ἑπομένη τῇ θεότητι, καὶ οὐχ ἑτεροιουμένη ταῖς τῶν ὑποστάσεων ἰδιότησι. Καὶ ὅ ἐστιν ὁ Πατήρ, τοῦτο καὶ ὁ Υἱός, εἰ καὶ μὴ πατὴρ ἢ προβολεύς· καὶ ὃ ὁ Υἱός, τοῦτο καὶ ὁ Πατήρ, εἰ καὶ μὴ γεννητός· καὶ ὃ τὸ Πνεῦμα, τοῦτο καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός, εἰ καὶ μὴ ἐκπορευτοί. Καὶ οὐδέτερον τῶν προσώπων ἐλλέλοιπε τοῦ ἑτέρου τῇ δόξῃ θεωρουμένῃ ἐν τῇ μιᾷ φύσει καὶ τῇ ἀξίᾳ τῆς θεότητος.

κδ΄. Ἄλλη ἀνάθεσις. Εἰ καὶ ὁ Υἱὸς προβάλλει τὸ Πνεῦμα, ἀλλ᾽ οὐ δύο ἀρχαί, διὰ τὸ εἰς τὸν Πατέρα τὸν Υἱὸν ἀναφέρεσθαι· καὶ ψευδῶς τοῖς Ἰταλοῖς ἡμῖν τὸ τῆς δυαρχίας ἔγκλημα παρὰ τῶν Γραικῶν ὑμῶν ἐπιγέγραπται.

Ἀπό<κρισις>. Ἡ αἰτίωσις καὶ ἀρχὴ ἢ τινῶν ἢ τινός· τῶν πρός τι γάρ. Ἐπεὶ οὖν ὁ Πατὴρ τοῦ Υἱοῦ ἀρχὴ καὶ αἴτιος ὡς γεννήτωρ, καὶ ὁ Υἱὸς ἀρχὴ τοῦ Πνεύματος ὡς καθ᾽ ὑμᾶς προβολεύς, δύο δὲ αἱ ὑποστάσεις ὁ Πατὴρ καὶ ὁ Υἱός· δύο ἄρα καὶ αἱ ἀρχαὶ ἔσονται. Εἰ δὲ μὴ δύο ἀρχαί, ἢ οὐχ ὁ Υἱὸς προβολεὺς τοῦ Πνεύματος, ὃ καὶ ἀληθές· ἢ ὁ Πατὴρ καὶ ὁ Υἱὸς οὐ δύο πρόσωπα, ἀλλ᾽ ἕν, κατὰ τὴν συνιγα<νο>μένην τῷ Σαβελλίῳ υἱοπατορίαν· ἢ τὸ Πνεῦμα οὐκ ἰδιοϋπόστατον, χάρισμα δὲ καὶ ἐνέργεια. Ταῦτα δὲ ἄτοπα.

Εἰ δὲ καὶ ἡ Εὔα τμῆμα τοῦ Ἀδάμ (ἐξ αὐτοῦ γάρ), ἀλλ' οὐ δύο ἀρχαὶ αἰτιώδεις τοῦ Κάϊν κατὰ γέννησιν, τοῦ μὲν δόντος τὸ εἰδικὸν αἴτιον, τῆς δὲ τὸ ὑλικόν; Εἰ δὲ καὶ τὸ εἶδος μὲν μὴ καθ' ἑαυτὸ ὑφεστὼς, ἐν ὕλῃ δὲ προϋποκειμένῃ, καὶ νῷ μόνῳ θεωρουμένη διὰ τὸ ἀόριστον αὐτῆς καὶ ἀκόσμητον, ἆρα οὐ συνάγει ταῦτα εἰς ἀρχὰς ὁ ἐκ Σταγείρας, ὅτε καὶ τριάζων τὰς πρώτας ἀρχὰς καὶ αὐτὴν τὴν στέρησιν ἀρχολογεῖ διὰ τὸ τὴν ἀπουσίαν αὐτῆς διδόναι τῷ εἴδει παρείσδυσιν, καὶ λογίζεσθαι κατὰ συμβεβηκὸς αἰτιώδη;

Εἰ δὲ καὶ τὰ γενικώτατα γένη εἰς τὴν οὐσίαν ἀνάγονται καὶ αὐτῆς ἐξέχονται καὶ ἐν αὐτῇ ὑφεστήκασιν ὀντούμενα, ἆρ' οὐκ εἰς ἀρχὰς τάττονται καὶ εἰς δεκαδικὸν ἀριθμὸν συμπαρειλημμένης καὶ τῆς οὐσίας;

Οὐκ ἄρα τοίνυν ὅτι ὁ Υἱὸς εἰς τὸν Πατέρα ἀναφέρεται, ἔσται δὲ καὶ οὗτος καθ' ὑμᾶς προβολεὺς τοῦ Πνεύματος ὡς ὁ Πατὴρ τοῦ Υἱοῦ γεννήτωρ, οὐ δύο ἀρχαὶ ὁ Πατὴρ καὶ ὁ Υἱός.

κε' Ἄλλη ἀνάθεσις. Καὶ πῶς ἡ βασιλεία καὶ ἡ στρατηγία οὐ δύο ἀρχαί, ἀλλ' ὅτι ἡ στρατηγία πρὸς τὴν βασιλείαν ἀναφορική, μία ἄρα ἀρχὴ ἡ βασιλεία;

Ἀπό‹κρισις›. Ἓν μέν, ὅτι πολυσήμαντος ἡ ἀρχή· ἐνταῦθα μὲν γὰρ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἀρχαὶ αἰτιώδεις καθ' ὑμᾶς ὑποστατικαί· εἰ δὲ αἴτια δύο, καὶ ἀρχαὶ δύο· ἐκεῖ δὲ ἡ ἀρχὴ ἀξία. Ἕτερον δέ, ὡς ἐπεὶ οὐκ ἴσαι τῇ

τιμὴ ἡ στρατηγία καὶ ἡ βασιλεία, ἀλλ' ὑποτεταγμένη χαμαιζήλως ἡ στρατηγία τῇ βασιλείᾳ ὡς δούλη τῇ δεσποίνῃ, οὐκ ἄρα δύο ἀρχαί, μία δέ· πῶς γοῦν συναριθμηθήσονται; Ὁ δὲ Πατὴρ καὶ ὁ Υἱὸς ὁμότιμα καὶ ἀρχαί, καὶ αἴτια ὁμοτίμων αἰτιατῶν ὡς αὐτοὶ φατὲ δοξάζοντες καὶ τὸν Υἱὸν προβολέα τοῦ Πνεύματος.

Ἔτι ἐπὶ μὲν τῆς βασιλείας καὶ τῆς ὑπ' αὐτὴν δουλικῆς στρατηγίας, οὐ δύο ἀρχαί, ἀλλὰ μία ἡ τῆς βασιλείας. Τῆς δὲ βασιλείας διεκχυθείσης εἰς ὁμότιμα πρόσωπα καὶ ὁμόθρονα, τῷ δυαδικῷ τῶν προσώπων καὶ ἡ δυαρχία συνίσταται. Δι' ὃ καὶ θυραῖον ἀπόφθεγμα, οὐκ ἄδοξον καὶ τῇ ἡμετέρᾳ αὐλῇ, ὡς εἷς ἐστιν βασιλεύς, ὡς ἄλλως ἀνάγκη εἶναι δυασθήσεσθαι καὶ τὴν ἀρχήν. Στρατηγῶν δὲ μὴ ἑνὸς ἀλλὰ καὶ πολλῶν προκεχειρισμένων, ἡ βασιλικὴ ἀρχὴ ἑνιαία ἐστιν. Οὐκοῦν καὶ ὁ σοφώτατος Ὅμηρος τὸ ξυγκοιρανεῖν ἀπείρηκεν, οὐ μὴν τὸ ἐν βασιλείᾳ καὶ στρατηγίαν παρεῖναι.

κθ΄ Ἄλλη ἀντίθεσις. Καὶ πῶς τριῶν ὄντων τῶν θεαρχικῶν προσώπων, ἡ βασιλικὴ αὐτῶν ἀρχὴ οὐ μερίζεται;

Ἀπό<κρισις>. Οὐ πραγματώδης ἡ λύσις, ῥᾳδία δέ. Ἐπεὶ γὰρ ἡ ὑπεράρχιος καὶ θεάρχιος ἀρχὴ οὐκ ἐπίκτητος καὶ ἐπεισοδιώδης, ἀλλὰ φυσικὴ καὶ σύμφυτος τῇ θεότητι καὶ συναΐδιος· τὰ δὲ φυσικὰ τῆς Ἁγίας Τριάδος ἑνιαῖα καὶ ἄτμητα καὶ ἄσχιστα· διὰ τοῦτο καὶ

ἡ βασιλεία καὶ ἡ ἀρχὴ οὔτε δυάζεται οὔτε τριάζεται.

κγ'. Ἄλλη ζήτησις. Πότερον, οὐ λέγεται τὸ Πνεῦμα χεὶρ Θεοῦ, ἀλλὰ καὶ δάκτυλος Χριστοῦ; Εὑρίσκεται γάρ, φασίν, ὁ Οὔγων ὁ Ἐτεριανὸς τοῦτο μαρτυρῶν ἐν τῇ βίβλῳ αὐτοῦ, καὶ ἐντεῦθεν συνάγων τὸ Πνεῦμα ἐκ τοῦ Χριστοῦ βλαστῆσαι, ὡς δάκτυλος τῆς χειρὸς ἐκφύεται.

Ἀπό⟨κρισις⟩. Ψεύδεται ὁ υἱὸς τῆς ἀπωλείας. Καὶ χεὶρ γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς λέγεται καὶ δάκτυλος. "Αἱ χεῖρές σου γάρ" φησι "ἐποίησάν με καὶ ἔπλασάν με"· τῆς μὲν ποιήσεως δεδηλωμένης ἐπὶ τὴν γένεσιν τῆς ψυχῆς, τῆς δὲ πλάσεως ἐπὶ τὴν σύνθεσιν τοῦ σώματος καὶ διοργάνωσιν. Καὶ πάλιν "οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα". Χεῖρες δὲ τοῦ Πατρὸς θεόφυτοι ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· δι' αὐτῶν γὰρ τὰ πάντα γεγένηται καὶ τὰ νοερὰ καὶ τὰ αἰσθητά, τοῦ μὲν Υἱοῦ οὐσιοποιοῦντος, τοῦ δὲ Πνεύματος τελειοποιοῦντος καὶ ἁγιάζοντος, ὡς ἡ Ἁγία Γραφὴ παραδίδωσιν. Εἴρηται δὲ καὶ δάκτυλος τὸ Πνεῦμα, οὐ διὰ τὸ σμικροπρεπῶς περιστέλλεσθαι καὶ μειονεκτεῖν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱόν, καθὼς οἱ τομεῖς τῆς μιᾶς καὶ ἀμεροῦς θεότητος εἰς οὐσίας ἀνίσους μικράς τε καὶ μεγάλας βεβλασφημήκασιν, ἤδη δὲ καὶ οἱ Ἰταλοὶ [οἱ] κακοὶ διαιτηταὶ τῶν ὑποστατικῶν ἰδιοτήτων καὶ φθορεῖς τούτων νεόσπαρτοι ἐκ τῆς Σαβελλίου σαπρίας νενεωτερήκασιν, ἀναισχυντήσαντες εἰς τὸ λέγειν τὸ

Πνεῦμα ἐκπορευτὸν ἐκ τοῦ Χριστοῦ διὰ τὸ εἰρῆσθαι δάκτυλον αὐτοῦ — ἄπαγε τῶν ἀτόπων — ἀλλ' ὅτι ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ συνημμένον καὶ ἀδιάστατον, ὡς δάκτυλος ὁμοφυὴς τῇ χειρὶ καὶ συμφυής, καὶ καθ' ὅτι αὐτὸ εἰς τὸ χρίειν καὶ σφραγίζειν ἱερᾶται καὶ τὸ γράφειν θεϊκῶς καὶ ἀποκαλύπτειν τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας αὐτοῦ. Ἐπ' αὐτοῦ γὰρ καὶ τὸ γραφεῖον τεθεώρηται, καὶ αὐτὸ εἰς καλὸν τεχνίτην ἐνθεάζεται καὶ πλῆκτρον τῶν καλῶς καὶ εὐσεβῶς κρουομένων. Ὡς καὶ Δαδ ὁ ψαλμογράφος φησὶν "αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον", ὅτι καὶ τὰ τοῦ Δαδ ᾄσματα ποιήματα τοῦ Θεοῦ καὶ ἔργα αὐτοῦ, καὶ εἰς αὐτὸν ἀνηγμένα. Ξυνίημι τοίνυν διὰ μέσου τοῦ Δαδ, τὸν Θεὸν καὶ Πατέρα λέγειν χεῖρας αὐτοῦ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ δακτύλους αὖθις αὐτοῦ, διὰ τὴν γένεσιν τοῦ ἄνω κόσμου καὶ τοῦ κάτω, τοῦ ἐκ ψυχῆς καὶ σώματος· οἷς ἡ δεκάχορδος συνῆπται σύμπηξις τῶν νοερῶν δυνάμεων καὶ τῶν αἰσθήσεων, καὶ ἡ ἔμμουσος καὶ ἐναρμόνιος αὐτῶν τάξις καὶ κίνησις.

κη'. Ἄλλη ζήτησις. Γέγραπται τῷ αὐτῷ Οὔγωνι μὴ εἰρῆσθαι εἰκόνα τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς ἀλλὰ μόνου τοῦ Υἱοῦ.

Τοῦτο δὲ ψεῦδος πρόδηλον. Καὶ αὐτὴ γὰρ ἡ προφητεία καὶ ὁ Θεοφόρος Βασίλειος καὶ ὁ ἱερὸς Κύριλλος

ἐξαγγέλλουσι τὸ Πνεῦμα εἰκόνα καὶ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρός. Ὥστε <οὐκ> ἔξεστι συνάγειν <ὡς> ἐπεὶ τῷ Υἱῷ μόνῳ κληροδοτεῖ τὸ εἶναι τὸ Πνεῦμα εἰκόνα αὐτοῦ, ἄρα καὶ αὐτῷ μόνῳ δίδωσι τὸ τῆς προβλήσεως αἴτιον, ἀλλ᾽ οὐχὶ καὶ τῷ Πατρί. Καὶ ἀντιφωνεῖ ἐπὶ πάντων Χριστῷ ὁ ἀντίχριστος καὶ ἀναιρεῖ τὸ Εὐαγγέλιον αὐτοῦ.

Ἵνα δὲ καὶ πάλιν συντετμημένως τὸ περὶ τῆς εἰκόνος ἀπογράψωμαι, φύσις αὐτῆς, εἴτε φυσική ἐστιν εἴτε μιμητική, τὸ διὰ τὴν ἐμφέρειαν εἰρῆσθαι οὗ εἰκὼν λέγεται. Ἐπεὶ οὖν δι᾽ αὐτὸ ἡ τῆς εἰκόνος κλῆσις, ὁμοούσιον δὲ τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα, κατ᾽ αὐτὸ ἄρα καὶ εἰκὼν ἐρρέθη. Καὶ γὰρ καὶ ὁ Υἱὸς εἰ ἐρρέθη μὲν μυριάκις εἰκὼν ἀπαράλλακτος τοῦ Θεοῦ, οὐχὶ δὲ καὶ υἱὸς αὐτοῦ, οὐ προσεδήλου ἂν τῷ παρασιωπηθῆναι τὴν υἱότητα τὸ καὶ ἐκ τοῦ Θεοῦ αὐτὸν ἐξελθεῖν γεννητῶς.

κθ΄. Ἄλλη ζήτησις. Οὐ δέδοται λέγειν τὸ Πνεῦμα ἐν τῷ Υἱῷ καὶ τὸν Υἱὸν ἐν τῷ Πνεύματι. Πῶς οὖν ἀπαρνεῖται τοῦτο ὁ Ἰταλός;

Ἀπό<κρισις>. Πλανᾷ ἑαυτόν, ὡς εὐρώς τις διαφθείρων τὰς θείας γραφάς, ὡς ἂν ἐκ τῆς τοιαύτης δολοφροσύνης τὸ νεόγραφον αὐτοῦ συστήσειε δόγμα. Φεράλληλα γὰρ τὰ πρόσωπα καί, ὡς φησιν ὁ θεοφάντωρ Διονύσιος, ὁλική ἐν ἀλλήλοις ἡ μονὴ καὶ ἡ ἵδρυσις. Λέγει δὲ καὶ ὁ μέγας Βασίλειος τὸ Πνεῦμα ἐν τῷ Λόγῳ καὶ ὁ Λόγος ἐν τῷ Πνεύματι.